οὐδ᾽ ἀργύριον οὐδὲ δόξα οὐδὲ πλοῦτος οὐδὲ ὑγίεια οὐδ᾽ ἰσχὺς F οὐδὲ κάλλος. τί οὖν ἐστι; τὸ πᾶσι καλῶς τούτοις χρῆσθαι δυνάμενον καὶ δι᾽ ὃ τούτων ἕκαστον ἡδὺ γίνεται καὶ ἔνδοξον καὶ ὠφέλιμον· ἄνευ δὲ τούτου δύσχρηστα καὶ ἄκαρπα καὶ βλαβερά, καὶ βαρύνει καὶ καταισχύνει τὸν κεκτημένον. ἦ που καλῶς ὁ Ἡσιόδου Προμηθεὺς τῷ Ἐπιμηθεῖ παρακελεύεται (OD 86)

'μή ποτε δῶρα
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου ἀλλ᾽ ἀποπέμπειν', |

100 τὰ τυχηρὰ λέγων καὶ τὰ ἐκτός, ὡς εἰ παρεκελεύετο μὴ συρίζειν ἄμουσον ὄντα μηδὲ ἀναγιγνώσκειν ἀγράμματον μηδὲ ἱππεύειν ἄνιππον, οὕτως παρακελευόμενος αὐτῷ μὴ ἄρχειν ἀνόητον ὄντα μηδὲ πλουτεῖν ἀνελεύθερον μηδὲ γαμεῖν κρατούμενον ὑπὸ γυναικός. 'τὸ γὰρ εὖ πράσσειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται', ὡς Δημοσθένης (I 23) εἶπεν· ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς πράττειν τοῖς μὴ φρονοῦσιν.

## 9.

## B ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ

(Plan. 1)

**1.** Τὰ ἱμάτια δοκεῖ θερμαίνειν τὸν ἄνθρωπον, οὐκ αὐτὰ δήπου θερμαίνοντα καὶ προσβάλλοντα τὴν θερμότητα, καθ᾽ ἑαυτὸ γὰρ ἕκαστον αὐτῶν ψυχρόν ἐστιν (ᾗ καὶ πολλάκις καυματιζόμενοι καὶ πυρέττοντες ἐξ ἑτέρων ἕτερα μεταλαμβάνουσιν), C ἀλλ᾽ ἣν ὁ ἄνθρωπος ἀναδίδωσιν ἐξ αὑτοῦ θερμότητα, ταύτην ἡ ἐσθὴς τῷ σώματι προσπεσοῦσα συνέχει καὶ περιστέλλει, καὶ